τὰ περιττὰ χρήματα, τρυφὰς ἐμποιοῦντα καὶ χαυνότητας ἀβεβαίους καὶ κενάς, ὑφ᾽ ὧν ἐπαιρόμεναι πολλάκις ἀπο-
πέτονται· κἂν μένωσι, χρυσαῖς | ὥσπερ ἐν Αἰθιοπίᾳ πέ- 753
δαις δεδέσθαι βέλτιον ἢ πλούτῳ γυναικός.'

8. 'Ἐκεῖνο δ᾽ οὐ λέγεις' ⟨ὁ⟩ Πρωτογένης εἶπεν 'ὅτι κινδυνεύομεν ἀναστρέφειν ἀτόπως καὶ γελοίως τὸν Ἡσίοδον, ἄν, ἐκείνου λέγοντος (O D 696)

'μήτε τριηκόντων ἐτέων μάλα πόλλ᾽ ἀπολείπων
μήτ᾽ ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὥριος οὗτος·
ἡ δὲ γυνὴ τέτορ᾽ ἡβώοι, πέμπτῳ δὲ γαμοῖτο',

σχεδὸν ἡμεῖς ἔτεσι τοσούτοις γυναικὶ πρεσβυτέρᾳ καθάπερ οἱ φοίνικας ἢ σῦκα ...... καὶ ἄωρον ἄνδρα περιάψωμεν. 'Ἐρᾶται γὰρ αὐτοῦ νὴ Δία καὶ κάεται·' τίς οὖν ὁ κωλύων ἐστὶ κωμάζειν ἐπὶ θύρας, ᾄδειν τὸ παρα-
κλαυσίθυρον, ἀναδεῖν τὰ εἰκόνια, παγκρατιάζειν πρὸς B
τοὺς ἀντεραστάς; ταῦτα γὰρ ἐρωτικά· καὶ καθείσθω τὰς ὀφρῦς καὶ πανσάσθω τρυφῶσα, [καὶ] σχῆμα λαβοῦσα τῶν τοῦ πάθους οἰκείων. εἰ δ᾽ αἰσχύνεται καὶ σωφρονεῖ, κοσμίως οἴκοι καθήσθω περιμένουσα τοὺς μνωμένους καὶ